ἀπὸ δὲ κουρᾶς ἀμνῶν μου ἐθερμάνθησαν οἱ ὦμοι αὐτῶν,
21 εἰ ἐπῆρα ὀρφανῷ χεῖρα
πεποιθὼς ὅτι πολλή μοι βοήθεια περίεστιν,
22 ἀποσταίη ἄρα ὁ ὦμός μου ἀπὸ τῆς κλειδός,
ὁ δὲ βραχίων μου ἀπὸ τοῦ ἀγκῶνός μου συντριβείη.
23 φόβος γὰρ κυρίου συνέσχεν με,
※καὶ ἀπὸ τοῦ λήμματος αὐτοῦ οὐχ ὑποίσω.
24 ※εἰ ἔταξα χρυσίον ἰσχύν μου,↙
εἰ δὲ καὶ λίθῳ πολυτελεῖ ἐπεποίθησα,
25 εἰ δὲ καὶ εὐφράνθην πολλοῦ πλούτου μοι γενομένου,
εἰ δὲ καὶ ἐπ᾽ ἀναριθμήτοις ἐθέμην χεῖρά μου,
26 ἢ οὐχ ὁρῶ μὲν ἥλιον τὸν ἐπιφαύσκοντα ἐκλείποντα,
σελήνην δὲ φθίνουσαν; οὐ γὰρ ἐπ᾽ αὐτοῖς ἐστιν.
27 ※καὶ εἰ ἠπατήθη λάθρᾳ ἡ καρδία μου,↙
εἰ δὲ καὶ χεῖρά μου ἐπιθεὶς ἐπὶ στόματί μου ἐφίλησα,
28 καὶ τοῦτό μοι ἄρα ἀνομία ἡ μεγίστη λογισθείη,
ὅτι ἐψευσάμην ἐναντίον κυρίου τοῦ ὑψίστου.
29 εἰ δὲ καὶ ἐπιχαρὴς ἐγενόμην πτώματι ἐχθρῶν μου
καὶ εἶπεν ἡ καρδία μου Εὖγε,
30 ἀκούσαι ἄρα τὸ οὖς μου τὴν κατάραν μου,
θρυληθείην δὲ ἄρα ὑπὸ λαοῦ μου κακούμενος.
31 εἰ δὲ καὶ πολλάκις εἶπον αἱ θεράπαιναί μου
Τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ πλησθῆναι;
λίαν μου χρηστοῦ ὄντος·
32 ἔξω δὲ οὐκ ηὐλίζετο ξένος,
ἡ δὲ θύρα μου παντὶ ἐλθόντι ἀνέῳκτο.
33 εἰ δὲ καὶ ἁμαρτὼν ἀκουσίως ἔκρυψα τὴν ἁμαρτίαν μου,
34 οὐ γὰρ διετράπην πολυοχλίαν πλήθους τοῦ μὴ ἐξαγορεῦσαι ἐνώπιον αὐτῶν,
εἰ δὲ καὶ εἴασα ἀδύνατον ἐξελθεῖν θύραν μου κόλπῳ κενῷ,
35 ※τίς δῴη ἀκούοντά μου;↙
χεῖρα δὲ κυρίου εἰ μὴ ἐδεδοίκειν,

20$^{2}$ αμνων] αρνων A || 21$^{1}$ ει] + δε και AV† | 21$^{2}$ πολλη μοι] tr. SC | παρεστιν SA || 22$^{1}$ ο ωμ. μου / απο τ. κλ.] tr. AV† | 22$^{2}$ μου ult. > BS† || 23$^{1}$ κυριου > B† | συνειχεν A† | 23$^{2}$] + δολον S*† || 24$^{1}$ ισχυν mu.] εις χουν BSA || 25$^{1}$ μοι(BA*† μου) γενομ.] tr. AV† | 25$^{2}$ ει δε και: cf. 7$^{3}$ || 26$^{1}$ ὁρῶ μὲν Complut. Gra.] ὁρῶμεν SyLaSa | εκλ(ε)ιπ.] pr. και S*A || 27$^{2}$ και > B || 28$^{1}$ αρα] η S*† | η μεγιστη λογ.] λογ. (+ η V†) μεγαλη AV† | 28$^{2}$ εναντιον] εναντι SA pl. || 29$^{1}$ πτωματι] pr. επι SAV(*O*?)† | εχθρου AV*O*† | 29$^{2}$ και ει ειπον τη κ. AV† | ευγε] + ευγε ACV† || 30$^{2}$ αρα > A | μου > AV† || 31$^{2}$ πλησθηναι] pr. εμ A || 32$^{2}$ η δε θυρα] και η θ. AV†: cf. 3 12 || 34$^{1}$ πληθους] λαου AVLa† | ενωπ.] εναντιον AV† | αυτου S*† | 34$^{2}$ θυραν] pr. την AScV